# ΚΥΡΙΑΚΗ Γ΄ ΝΗΣΤΕΙΩΝ

## Τοῦ Τιμίου καὶ Ζωοποιοῦ Σταυροῦ Προσκύνησις



*Τίμιος Σταυρὸς «τῆς αὐτοκράτειρας Ἑλένης Παλαιολογίνας» (ΙΕ΄ αἰ.), Ἱ. Μ. Διονυσίου Ἄθωνος.*

**Ἀπολυτίκιον.** Ἦχος α΄.

**Σ**ῶσον Κύριε τὸν λαόν Σου, καὶ εὐλόγησον τὴν κληρονομίαν Σου, νίκας τοῖς Βασιλεῦσι, κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ Σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ Σου πολίτευμα.

**Κοντάκιον.** Ἦχος βαρύς. Αὐτόμελον.

**Ο**ὐκ ἔτι φλογίνη ῥομφαία φυλάττει τὴν πύλην τῆς Ἐδέμ, αὐτῇ γὰρ ἐπῆλθε παράδοξος σβέσις, τὸ ξύλον τοῦ Σταυροῦ· θανάτου τὸ κέντρον, καὶ ᾅδου τὸ νῖκος ἐλήλαται. Ἐπέστης δὲ Σωτήρ μου βοῶν τοῖς ἐν ᾅδῃ· Εἰσάγεσθε πάλιν εἰς τὸν Παράδεισον.

**Μεγαλυνάριον.**

**Ν**ῦν ἐμφανιζόμενος ὁ Σταυρός, δύναμιν παρέχει, ἐν τῷ μέσῳ τῶν νηστειῶν, τοῖς τὸ θεῖον σκάμμα, ἀνύουσι προθύμως· αὐτὸν μετ᾽ εὐλαβείας, κατασπασώμεθα.

**Στίχοι.**

**Τ**ὸν Σταυρὸν γῆ σύμπασα προσκυνησάτω.
**Δ**ι᾽ οὗ περ ἔγνωκε σὲ προσκυνεῖν, Λόγε.

## Τῇ τρίτῃ Κυριακῇ τῶν Νηστειῶν

*(Ἑβρ. δ΄ 14-ε΄ 6· Μάρκ. η΄ 34-θ΄ 1)*

**Ἑορτάζομεν** τὴν προσκύνησιν τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ.

**Π**αντὸς ἔργου κοπιαστικοῦ ἡ ἐκτέλεσις ἔχει δυσκολίαν μεγάλην, ἀλλὰ τῆς δυσκολίας ταύτης τὸ μέγεθος ἀναφαίνεται εἰς τὸ μέσον αὐτοῦ· διότι ὁ ἕως τότε καταβληθεὶς κόπος φέρει ἀδυναμίαν, ἡ δὲ ἀδυναμία ποιεῖ δυσκολώτερον τὸ λοιπὸν τοῦ ἔργου. Ἐπειδὴ οὖν καὶ ἡμεῖς ἐφθάσαμεν, θείᾳ χάριτι, εἰς αὐτὸ τὸ μέσον σχετικῶς τοῦ τῆς νηστείας δρόμου, ὅπου καὶ ἡ ἀδυναμία περιεκύκλωσεν ἡμᾶς καὶ ἡ δυσκολία ηὔξησε· διὰ τοῦτο ἡ ἁγία ἡμῶν μήτηρ, ἡ τοῦ Χριστοῦ Ἐκκλησία, προβάλλει σήμερον εἰς

ἡμᾶς ὡς βοήθημα κραταιότατον τὸν πανάγιον Σταυρόν, τὴν χαρὰν τοῦ κόσμου, τῶν πιστῶν τὴν δύναμιν, τῶν δικαίων τὸ στήριγμα, καὶ τῶν ἁμαρτωλῶν τὴν ἐλπίδα· ἵνα, εὐλαβῶς αὐτὸν κατασπαζόμενοι, λάβωμεν χάριν καὶ δύναμιν, πρὸς τελείωσιν τοῦ θείου τῆς νηστείας ἀγῶνος.

❖